Κεφάλαιο Β, 41

Κείμενο

(Κυρία πρόθεση: Από τον έπαινο της πολιτείας στον έπαινο των νεκρών )

*[41] Ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν εἶναι*

*καὶ καθ᾽ ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ᾽ ἡμῶν*

*πλεῖστ' ἂν εἴδη καὶ μετὰ χαρίτων μάλιστ᾽ ἄν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι.*

*Καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια,*

*αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει.*

*Μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται,*

*καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ*

*οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν ( ἔχει) ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται.*

*Μετὰ μεγάλων δὲ σημείων καὶ*

*οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι*

*τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα,*

*καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου οὔτε (ἄλλου ἐπαινέτου)*

*ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει,*

*τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει,*

*ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι,*

*πανταχοῦ δὲ μνημεῖα κακῶν τε καί ἀγαθῶν ἀίδια ξυγκατοικίσαντες.*

*Περὶ τοιαύτης οὖν πόλεως*

*οἵδε τε γενναίως δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν,*

*μαχόμενοι ἐτελεύτησαν καὶ τῶν λειπομένων*

*πάντα τινὰ εἰκὸς (ἐστίν) ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν.*



*Μοντέλο αρχαίας ελληνικής τριήρους, Deutsches Museum, Μόναχο, Γερμανία.*

*Οι τριήρεις περιπολούσαν στα παράλια της πόλης και διασφάλιζαν την ασφαλή διεξαγωγή του εμπορίου.*

*Η ελαφριά κατασκευή, η ευελιξία, η ταχύτητα αλλά και το πλεονέκτημα του σκάφους να μην βυθίζεται*

*δεν μπόρεσαν να κατισχύσουν των μειονεκτημάτων*

*που ήταν η αδυναμία να αντιμετωπίζει τις κακοκαιρίες, η έλλειψη αποθηκευτικών χώρων, η μικρή διάρκεια ζωής και το υψηλό κόστος κατασκευής*

*με αποτέλεσμα να περιέλθει σε αχρηστία.*

*Η τελευταία χρήση , και αποτυχημένη, της τριήρους ήταν το 322 π.Χ. στη ναυμαχία της Αμοργού.*